# ΕἸΔΥ͗ΛΛΙΟΝ ΓΑΜΗ͗ΛΙΟΝ.

Δεῦρό μοι ἔννεπε Μῶσα Γαμήλια ἀγλαὰ κάρτα
κεδνά τ' Ἰωάννου φιλομώσω Ἀποστολίδαο·
ὡς κατὰ κόσμον ῥέξεν ἑὸν Γάμον ἱμερόεντα,
ὡς δὲ φίλοισιν ἔτευξ' ἁβρὰν δαῖτ' εἰλαπίνην τε,
πάντα τ' εὖ ὡς ἤνυσεν ἐπισταμένης πραπίδεσσι.
τῷ Πατρὶς Αἰτωλῶν ἀλιγείτων ἔπλετο γαῖα,
Σμύρνα δ' ἐ πιερίδεσσι πύκα ξυνθρέψατο μώσης
ἠΐθεον τελέθοντα φυὴν ἑὴν, αὐτὰρ ἔπειτα
Κοζάνη μιν ἔχεσκε Καθηγητὴν νεολαίας.
Ἔνθ' ἄρ' ὅγ' ἣν παράκοιτιν ὄφρ' ἤγετο δὴν ἐρατεινὴν,
θυμὸν ἰαινόμενος κάρτ' ἀμφὶ γάμοισιν ἑοῖσι,
μειλιχίοις ἐπέεσσι συναγρομένοισι μετηύδα
κούροις, ὅσσοι ἑῆς ἱερῆς τόφρ' ἔκλυον αὐδῆς,
χαίρετε ἠΐθεοι μωσάων ἔξοχ' ἐρασταὶ,
πάτρης θ' ὑμετέρης ἐνὶ ἤθεϊ ἔρνεσιν ἶσοι·
σὺν δὲ φίλαι μῶσαι τάς γ' ἐκπάγλως τ' ἐφίλασα
τῖσα τέ γ' αἰέν· ἐμὶν δὲ τὰ Κύπριδος ἔργα μελήσει,
εἰσόκεν ἱμερόεντος ἔῃ μευ τέρμα γάμοιο.
αἶψα δὲ παιδείης τε μνάσομαι ἠδέ τε μωσῶν,
ὔμμας τ' ἐκπαιδεύσω ἐς ὕστατον ἔξοχ' ἄριστα
παιδείης γένε' ὅσσα τ' ἔασσι καὶ εἴδεα πάντα·
δὴ γὰρ ἔμοι γε πέπρωτ' ἐνὶ Κοζάνῃ βιοτεῦσαι

κλει-